**Storia della Lingua Greca – Laurea Magistrale – 16.10.2013**

**La vera nobiltà**

**Eur. *El.* 367-400**

Ορ. φεῦ·
οὐκ ἔστ᾽ ἀκριβὲς οὐδὲν εἰς εὐανδρίαν·
ἔχουσι γὰρ ταραγμὸν αἱ φύσεις βροτῶν.
ἤδη γὰρ εἶδον ἄνδρα γενναίου πατρὸς
τὸ μηδὲν ὄντα, χρηστὰ δ᾽ ἐκ κακῶν τέκνα,
λιμόν τ᾽ ἐν ἀνδρὸς πλουσίου φρονήματι,
γνώμην δὲ μεγάλην ἐν πένητι σώματι.
[πῶς οὖν τις αὐτὰ διαλαβὼν ὀρθῶς κρινεῖ;
πλούτωι; πονηρῶι τἄρα χρήσεται κριτῆι.
ἢ τοῖς ἔχουσι μηδέν; ἀλλ᾽ ἔχει νόσον
πενία, διδάσκει δ᾽ ἄνδρα τῆι χρείαι κακόν.
ἀλλ᾽ εἰς ὅπλ᾽ ἐλθών; τίς δὲ πρὸς λόγχην βλέπων
μάρτυς γένοιτ᾽ ἂν ὅστις ἐστὶν ἁγαθός;
κράτιστον εἰκῆι ταῦτ᾽ ἐᾶν ἀφειμένα.]
οὗτος γὰρ ἀνὴρ οὔτ᾽ ἐν Ἀργείοις μέγας
οὔτ᾽ αὖ δοκήσει δωμάτων ὠγκωμένος,
ἐν τοῖς δὲ πολλοῖς ὤν, ἄριστος ηὑρέθη.
οὐ μὴ ἀφρονήσεθ᾽, οἳ κενῶν δοξασμάτων
πλήρεις πλανᾶσθε, τῆι δ᾽ ὁμιλίαι βροτῶν
κρινεῖτε καὶ τοῖς ἤθεσιν τοὺς εὐγενεῖς;
[οἱ γὰρ τοιοῦτοι τὰς πόλεις οἰκοῦσιν εὖ
καὶ δώμαθ᾽· αἱ δὲ σάρκες αἱ κεναὶ φρενῶν
ἀγάλματ᾽ ἀγορᾶς εἰσιν. οὐδὲ γὰρ δόρυ
μᾶλλον βραχίων σθεναρὸς ἀσθενοῦς μένει·
ἐν τῆι φύσει δὲ τοῦτο κἀν εὐψυχίαι.]
ἀλλ᾽ ἄξιος γὰρ ὅ τε παρὼν ὅ τ᾽ οὐ παρὼν
Ἀγαμέμνονος παῖς, οὗπερ οὕνεχ᾽ ἥκομεν,
δεξώμεθ᾽ οἴκων καταλύσεις. χωρεῖν χρεών,
δμῶες, δόμων τῶνδ᾽ ἐντός. ὡς ἐμοὶ πένης
εἴη πρόθυμος πλουσίου μᾶλλον ξένος.
αἰνῶ μὲν οὖν τοῦδ᾽ ἀνδρὸς ἐσδοχὰς δόμων,
ἐβουλόμην δ᾽ ἂν εἰ κασίγνητός με σὸς
ἐς εὐτυχοῦντας ἦγεν εὐτυχῶν δόμους.
ἴσως δ᾽ ἂν ἔλθοι· Λοξίου γὰρ ἔμπεδοι
χρησμοί, βροτῶν δὲ μαντικὴν χαίρειν ἐῶ.